

Ἐν ἀρχαίᾳ πόλει τινὶ ᾤκει καλὸς νεανίσκος τις Ἀλαντίν ὀνόματι. Ὁ μὲν πατὴρ αὐτοῦ ἐτεθνήκει, ἡ δὲ μήτηρ πλύνουσα τὸν βίον ἐποιεῖτο.

Ὁ μὲν Ἀλαντὶν ἦν ἀγαθὸς υἱός, τῇ μητρὶ βοηθῶν ὡς οἷός τ' ἦν, ὁ δὲ βίος ἦν χαλεπός.



Βαδίζων γὰρ διὰ τῆς ἀγορᾶς καὶ βοηθῶν τῇ μητρὶ πρὸς τὸ τὰ ἄπλυτα βαστάζειν, πολλάκις ἐσκώπτετο ὑπὸ παιδῶν τράχων...



Ἡμέρᾳ τινὶ μάγος πονηρός τις, ἰδὼν τὸν Ἀλαντίν αὐτὸν εἶναι τὸν νεανίσκον ὑφ' ἑαυτοῦ ἀναζητούμενον, προείλετο γιγνώσκειν αὐτόν.



Δωρησάμενος νομίσματα χρυσῆ παισί τισιν, ὁ μάγος ἔγνω πάντα περὶ τοῦ Ἀλαντίν τε καὶ τὴν οἴκησιν αὐτοῦ.



Ὀλίγῳ δ' ὄψιον ὁ μάγος, περιτυχὼν τῷ Ἀλαντὶν παρὰ τὸ φρέαρ τὸ ἐγγὺς τῇ οἰκίᾳ αὐτοῦ ὄν, γελῶν ἔδραμεν ἐπὶ τὸν Ἀλαντίν...



Καὶ προσποιούμενος ἀγάλλεσθαι χαρᾷ, ὁ μάγος ἠρώτα αὐτὸν περὶ τοῦ πατρὸς αὐτοῦ. Ὁ δὲ Ἀλαντὶν ὅσον οὐ κατεπλήσσετο.



Καὶ τοῦ Ἀλαντὶν αὐτῷ διηγησαμένου τὸν ἑαυτοῦ πατέρα τεθνηκέναι, ὁ πονηρὸς καὶ παλαιὸς ἐπιβουλευτής, ὡς ἀποθλιβόμενος, κατεκαλύψατο τὸ πρόσωπον ταῖς χερσίν.



Πᾶσαι μὲν αἱ τοῦ Ἀλαντὶν πεῖραι τοῦ παραμυθεῖσθαι τὸν πατράδελφον, ὡς ἐῴκει, ἄκυροι ἐγένοντο. Ἐφαίνετο δ' ὁ μάγος πένθει κατέχεσθαι...



Ὁ οὖν μάγος, ὑποσχόμενος ἐπὶ δεῖπνον καθ' ἑσπέραν ἰέναι, νομίσματά τινα ἐπὶ τὴν τοῦ Ἀλαντὶν χεῖρα θείς, ἀπῆλθεν.



Ἐκείνῃ δὲ τῇ ἑσπέρᾳ, ἡ μήτηρ τοῦ Ἀλαντὶν παρέθηκε τῷ θείῳ, ὡς ἐῴκει, δεῖπνον ἥδιστον, δηλαδὴ νῆσσαν ὀπτὴν ἠγορασμένην ὅσῳ ἀργυρίῳ οὗτος ἐδεδώκει.



Ὁ δὲ μάγος, διὰ πάσης τῆς ἑσπέρας τὸν Ἀλαντὶν μεγάλως ἐπαινῶν, ᾐνίξατο αὐτὸν ἀναμένειν μέγα τι.



Καὶ ἐκ βουλῆς ὁ πανοῦργος ἐπιβουλευτὴς προσήνεγκε τῷ νεανίᾳ καλὰ ἐσθῆτα.



Ἡ δὲ μήτηρ τοῦ Ἀλαντὶν οὕτως ἐκαυχᾶτο ὑπὲρ τοῦ καλοῦ υἱοῦ ὥστε οὐκ ἠμφισβητεῖτο οὐδὲν ὑπὸ τοῦ θείου, ὡς ἐῴκει, εἰρημένον.



Τελευτῶν δ' ὁ μάγος, ὑπισχόμενος τῇ ὑστεραίᾳ πρωῒ ἐπανιέναι ἵνα ἡγήσηται τὸν Ἀλαντὶν πρὸς δὴ θαυμαστόν τι ὑπὲρ ἐκείνου ἐφ' ἑαυτοῦ παρεσκευασμένον, ἀπῆλθεν.



Τῇ οὖν ὑστεραίᾳ ὁ μάγος ἐξηγήσατο τὸν Ἀλαντὶν εἰς τὴν ὀρεινήν. Ἡ δ' ὁδὸς ἦν τραχεῖα καὶ ἀγρία.



Καὶ ἔφερεν αὐτοὺς διὰ σκοτίας ὕλης, ὅπου τὰ δένδρα ἐδόκει πολὺ καὶ θαυμαστὸν μεταμορφοῦσθαι.



Τέλος δ' ὁ μάγος εἶπε τῷ Ἀλαντὶν ὅτι θαυμάσιος θησαυρὸς χρυσοῦ καὶ ἀδαμάντων καὶ λυχνιτῶν καὶ σμαράγδων κέοιτο ὑπὸ γῆς.



Καταδιώκων δὲ τὴν ἐντολὴν τοῦ θείου, ὡς ἐῴκει, κατὰ κράτος ἐξερίζωσε θάμνον μέγαν αὐτῇ τῇ βώλῳ...




...λιπὼν τοσοῦτον τρῆμα ὥστε ἐξῆν εἰσκαταβαίνειν. Ἐν δὲ τῷ κάτω τοῦ τρήματος ἦσαν κλιμακτῆρες φέροντες, ὡς ἐδόκει, εἰς τὴν ἄβυσσον.



Πρὶν τὸν Ἀλαντὶν τὸ θαῦμα ἀποδύσασθαι, οὗτος ὁ νομιζόμενος θεῖος ἐκέλευσεν ἐκεῖνον καταβῆναι εἰς τὸ ὑπὸ τῶν κλιμακτήρων σπήλαιον καὶ ἀνακομίσαι λυχνάριόν τι ὃ ἂν ἐκεῖ εὕρῃ.



Ὁ δ' Ἀλαντὶν ἐνουθετήθη ὡς μὴ ἐῴη τὰ ἱμάτια ἅψασθαι τῶν τειχῶν ἵνα μὴ αὐτὸς ἀποθάνοι.



Ἡ μὲν λιθίνη κλῖμαξ ἀεὶ μᾶλλον κατέφερεν. Τοῦ δὲ Ἀλαντὶν καταβαίνοντος, ἀεὶ μᾶλλον ἐπεσκοτεῖτο.



Εἶτα πρὸς τῇ κατωτάτῃ κλίμακι ἰδὼν θαυμάσιον φῶς τι, ἠκολούθησεν αὐτῷ διὰ θύρας.



Καὶ ὁ Ἀλαντὶν ἀφίκετο εἰς καλὸν κῆπον, ὅπου πᾶν μὲν ἄνθος ἦν λυχνίτης ἢ σμάραγδος, οἱ δὲ καρποὶ οἱ ἐκ τῶν δένδρων κρεμάμενοι ἦσαν μαργαρῖται ἢ λίθοι πολυτελεῖς. Καὶ εἱστήκει ἐκπλησσόμενος τοιούτῳ τῷ θαύματι.



Οὐδ' οἷός τε ἐγένετο μὴ δρέψασθαι ὀλίγα ῥόδα ἐξ ἑνὸς λυχνίτου γεγλυμμένα τε καὶ ἀνθεμίδας πέταλα ἀδαμάντινα ἐχούσας.



Καὶ δρεψάμενος καρπίον ἐξ ἑκάστου δένδρου ἐπεπλήρωσε τοὺς μαρσίπους. Πάντες μὲν οἱ καρποὶ ἦσαν λίθοι πολυτελεῖς. Ὁ δὲ Ἀλαντὶν ἠγνόει.



Οὕτω μὲν κεκινημένος ἦν ὥστε ὅσον οὐκ ἐπελάθετο ἕνεκά τινος ἦλθεν. Ἐξαίφνης δὲ ἡ φωνὴ τοῦ μάγου παρῄνεσεν αὐτόν.



Παρὰ μὲν ἔσχατα τοῦ κήπου τὸ λυχνάριον ἔκειτο ἐπὶ τραπέζης, ὁ δὲ Ἀλαντὶν ἠπόρει τί τῷ θείῳ, ὡς αὐτὸς ἐνόμιζε, πρᾶγμα εἴη τοιούτου λυχναρίου.



Πεισθεὶς δὲ τῷ θείῳ, ὡς ἐῴκει, ὁ Ἀλαντὶν ἄρας τὸ λυχνάριον ὡρμήθη αὖ πρὸς τὴν μακρὰν κλίμακα..



Πλησίον δὲ τῆς θύρας εἶδε καλὸν καὶ χρυσοῦν δακτύλιον ἐπὶ χρυσῷ ὑποθέματι κείμενον. Καὶ ὁ Ἀλαντὶν σφόδρα ἐπειρήθη γιγνώσκειν εἰ ἑαυτῷ ἁρμόζοι.



Διὸ καταθεὶς τὸ λυχνάριον ἐπειράθη τὸν δακτύλιον. Τότε δὲ ἡ φωνὴ τοῦ μάγου διοργιζομένου κατέβη διὰ τῆς κλίμακος.



Ὁ μὲν οὖν Ἀλαντὶν ἔσπευσεν εἰς τὸ τοῦ νομιζομένου θείου πρόσταγμα, ἔπειτα δέ, ὡς οἱ πολυτελεῖς λίθοι ἐκ τῶν μαρσίπων αὐτοῦ ἐξεχέοντο, πάλιν ἐπαύσατο.



Ὁ δὲ μάγος παρεκεκινήκει. Ἐβούλετο γὰρ τὸν Ἀλαντὶν παρασχεῖν αὐτῷ τὸ λυχνάριον ἵνα ἐπιτελέσαι τὴν βουλὴν τοῦ τὸν νεανίσκον ἐν τῷ σπηλαίῳ καλύψαι.



Ἡ μὲν ὀργὴ αὐτοῦ μόνον ἐσκλήρυνε τὸν Ἀλαντίν. Ὁ δὲ ἀρξάμενος αἴρειν τοὺς λίθους εἶπε τῷ νομιζομένῳ θείῳ ὅτι δέοι αὐτὸν ἀναμένειν.



Ὁ δὲ λόγος τοῦ Ἀλαντὶν οὕτως ὤργισε τὸν πονηρὸν μάγον ὥστε τοῦτον πάντως ταραχθῆναι. Ὁ μὲν ἐκσπάσας ῥάβδον μαγικὴν ἐκ τοῦ ἱματίου, ἐλάλησεν ἔπη θαυμάσιά τινα, ἡ δὲ γῆ ἐκλείσθη.



Πρῶτον μὲν ὁ Ἀλαντὶν οὐ σαφῶς ᾔδει ὅ τι γέγονεν. Ἔπειτα δ' ἐξεπλάγη.



Ἐννοῶν τὴν μητέρα τε καὶ τὸ οἰκίδιον ὅπου ᾤκουν, ὁ Ἀλαντὶν ἐλυπήθη σφόδρα. Δάκρυον δ' ἐστάλαξεν ἐπὶ τὸ λυχνάριον αὐτοῦ.



Ἐπεὶ οὐδὲν ἄλλο αὐτῷ πρακτέον ἦν, ὁ Ἀλαντὶν ἀπέτριψε τὸ τοῦ δακρύου στίγμα ἀπὸ τοῦ λυχναρίου.



Καὶ ἐξαίφνης δαίμων τις ὤφθη. Ὁ δὲ Ἀλαντὶν ἐν ὀφθαλμοῖς ἔχων μόλις ἐπείθετο. Πρῶτον γὰρ ἐνόμιζεν ὀνειρώσσειν



Ἐπειδὴ δὲ ὁ δαίμων ἐξηγήσατο τὸν Ἀλαντὶν νῦν εἶναι τὸν ἑαυτοῦ δεσπότην, ὁ νεανίσκος ἐβουλεύσατο πειρᾶσθαι αὐτοῦ...



..ἐφ' ᾧ τὸ πρῶτον ἑαυτῷ ἐπὶ νοῦν ἦλθεν. Καὶ μὴν οὐχ ἡγεῖτο οὐδὲν συμβήσεσθαι, εἰ δὲ οἷός τε ἐγένετο ἐξιέναι...



Ἐξαίφνης δὲ βροντὴ ἐγένετο καὶ ὁ Ἀλαντὶν εἱστήκει ὅπου γε τὸ τρῆμα τῆς γῆς ἐγεγόνει, ἡλίου δὴ φαίνοντος.



Ὅμως δ' οὐκ ἦν ὄναρ τι. Πάντα γὰρ τὰ αὐτὰ ἦν, πλὴν ὅτι οὔτε τὸ τρῆμα παρῆν οὔτε ὁ μάγος.



Ὁ οὖν Ἀλαντὶν σάξας τὸ λυχνάριον ἔσω τοῦ χιτωνίσκου ὡρμήθη πάλιν πρὸς τὴν πόλιν. Καὶ ὠργίσθη ἐννοῶν ὅπως ζῶν κατωρύχθη.



Ἐπειδὴ οἴκαδε ἀφίκετο, ἡ μήτηρ αὐτοῦ μόνον οὐ συνέπεσε θεασαμένη τοὺς καλοὺς λίθους ὑπ' αὐτοῦ εὑρημένους. Οὐ μὴν ἐπίστευσεν αὐτῷ περὶ τοῦ καταγείου κήπου διηγουμένῳ.



Καὶ συνδήσασα αὐτοὺς λίνῳ τινὶ ἔκρυψεν ὄπισθε πλίνθου λελυμένης ἐν τῇ ἑστίᾳ.



Μετὰ δ' ἡμέρας τρεῖς, ἡ μήτηρ τοῦ Ἀλαντὶν ἔξει τὸ παλαιὸν χαλκοῦν λυχνάριον. Αὐτῆς δὴ τοῦτο ἀποτριβούσης...



..ἐξαίφνης ὁ δαίμων ὑπογελῶν ἐφάνη αὐτῇ. Ἡ δὴ φοβηθεῖσα ἔτριξεν, ἀλλ' οὐκ ἐδύνατο ἀποκρίνασθαι.



Τότε δ' ὁ Ἀλαντὶν οὐδαμῶς ἐφοβεῖτο. Καὶ ταχὺ ἔδωκε τῷ δαίμονι ἐντολήν.



Καὶ, βροντῆς γενομένης, ἐξαίφνης ἐπὶ τῆς τραπέζης ἐκεῖτο θαυμάσιον ὑπὲρ δυοῖν δεῖπνον ἐπὶ πινάκων ὁλοχρύσων.



Τὸ μὲν πρῶτον ἡ ταλαίπωρος γυνὴ μᾶλλον κατεπλήσσετο ἢ ὥστε γρῦ φθέγγεσθαι.



Ἔπειτα δ' ὁ υἱὸς αὐτῆς ἐξηγήσατο τὸν ἰσχυρὸν δαίμονα ἀεὶ φαίνεσθαι ὅτε τις ἀποτρίψαι τὸ λυχνάριον.



Ἡ μὲν μήτηρ τοῦ Ἀλαντὶν ἔγνω ἔξον αὐτῇ λεκάνην χρυσῆν μίαν τοσούτου πωλῆσαι ὥστε ἐξαρκεῖν αὐτοῖς ἕως τῆς τελευτῆς τοῦ θέρους.



Τῷ δὲ Ἀλαντὶν μᾶλλον ἔμελεν ἰχθῦς θηρᾶν.



Τῶν δὲ ἰχθύων ἀγκιστρευμένων, ἤκουσε φωνὰς γελώντων μετὰ θάμνους εὐμήκεις τινάς.



Καὶ παρακύψας διὰ τῶν θάμνων εἶδε…



…τήν τε τοῦ βασιλέως νέαν θυγατέρα καὶ τὰς φίλας αὐτῆς, μετὰ παιδιᾶς ἐν τῷ ποταμῷ διαβαινούσας, τῆς δὲ βασιλίσσης ἡγουμένης. Ὁ δὲ Ἀλαντὶν οὐδέποτε ἑωράκει τινὰ οὕτως εὐπρεπῆ ὥσπερ τὴν βασίλισσαν.



Ὁ μὲν Ἀλαντὶν πολὺ ἐπεμελήθη ὅπως μὴ αἱ κόραι ὄψονται αὐτόν, ἀπελθουσῶν δὲ αὐτῶν...



...οὐκέτι ἐβουλήθη ἰχθυᾶν. Τὸν δὲ κάλαμον ἐν τῇ κόνει ἕλκων, βάδην οἴκαδε ἐβάδισεν.



Διὰ τῆς ἐπιούσης ἑβδομάδος ὁ Ἀλαντίν ἐπλανᾶτο περὶ τὴν οἰκίαν ὡς ἡδόμενος μηδενί.



Ἤδη δὴ ἀναστὰς ἐπάταξε τὴν παλάμην τῇ πυγμῇ. Ἐψήφιστο γὰρ τὴν θυγατέρα τοῦ βασιλέως γῆμαι.



Ἐπεὶ ὁ Ἀλαντὶν ἔφρασε τῇ μητρί, αὐτὴ σχεδὸν συνέπεσεν. Ὁ γὰρ τὴν θυγατέρα τοῦ βασιλέως αἰτούμενος ὅμοιος ἦν τῷ τὰ ἄστρα.



Ἀλλὰ τῷ Ἀλαντὶν βουλή τις ἦν. Δηλαδὴ ἡ μήτηρ, λαβοῦσα τοὺς ἐκ τοῦ ἀποκρύφου κήπου πολυτελεῖς λίθους, ὤφειλε δοῦναι τῷ βασιλεῖ.



Τῇ δὲ ὑστεραίᾳ ἡ μήτηρ τοῦ Ἀλαντίν, ἔνδον τρέμουσα, ἦλθεν εἰς τὴν αὐλὴν τοῦ βασιλέως. Πρὶν γὰρ ὁμολογῆσαι, πόρρω τῶν νυκτῶν τῷ Ἀλαντὶν διείλεκτο.



Καὶ ἑστῶσα μετὰ τῶν ἀστείων ἐληλυθότων ἰδεῖν τὸν βασιλέα, ἐπεθύμει αὖ οἴκοι εἶναι.



Ἤδη δὴ ὁ λόγος καθῆκεν εἰς αὐτήν. Ἡ δὲ ταῖς χερσὶν κατέχει πλήρη λίθων θήκην ἠγορασμένην ἑνὸς τῶν ἐλαχίστων ἀδαμάντων.



Καὶ εἰς γόνυ ὀκλάσασα πρὸ τοῦ θρόνου, ἀνέῳξε τὴν θήκην.



Ὁ δὲ βασιλεὺς πλὴν τοῦ θυγατρὸς ἐφίλει ὅτι μάλιστα τοὺς πολυτελεῖς λίθους. Καὶ οὔποτε ἑωράκει τοιούτους λίθους.



Ἡ δὲ μήτηρ τοῦ Ἀλαντίν, τρέμουσα ὥστε μόλις δύνασθαι λέγειν, διηγήσατο τὸν υἱὸν βούλεσθαι τὴν βασίλισσαν γῆμαι.



Ὁ δὲ βασιλεὺς φθεγξάμενος εἶπεν ὅτι αὐτὸς μὲν οὐκ οἶδε οἶδε Ἀλαντίν, ἡ δὲ θυγάτηρ οὐ γαμεῖται οὐδενὶ ἀλλ' ἢ τῷ τῶν ὄντων πλουσιωτάτῳ ἀνδρί.



Καὶ ἔφη, εἰ ὁ Ἀλαντὶν ὄντως ἐλπίζοι τὴν θυγατέρα αὐτοῦ γαμεῖν, δεῖν αὐτὸν κρατῆρας χρυσοῦς τεσσεράκοντα ἀδαμάντων σμαράγδων λυχνιτῶν πληρεστάτους πρὸς τὸν βασιλέα πέμψαι.



Ἡ δὲ μήτηρ τοῦ Ἀλαντὶν δρόμῳ ἀπῆλθε τῆς αὐλῆς, πάντων τῶν αὐλικῶν ἐπ' αὐτῇ γελώντων.



Ἡ δὲ οἴκαδε ἀφικομένη, τῷ υἱῷ διηγήσατο ὅτι ὁ βασιλεὺς τὸ ἀδύνατον αἰτήσαι· δηλαδὴ τεσσεράκοντα κρατῆρας λίθων πολυτελῶν πλήρεις.



Ἀλλ' ὁ Ἀλαντὶν οὐδαμῶς ἠνωχλεῖτο. Ὁ δὲ πρὸ τῆς μητρὸς σεσηρὼς ἦρε τὸ παλαιὸν χαλκοῦν λυχνάριον.



Ὅπερ ὁ Ἀλαντὶν ἀποτρίψας, φανέντος τοῦ δαίμονος, ἔδωκεν αὐτῷ ἐντολὰς πλείστας.



Ὀλίγῳ δὲ χρόνῳ ὕστερον ὁ βασιλεὺς, διὰ τῆς τῶν βασιλείων θυρίδος βλέψας, ἀνεβόησε θαυμάζων.



Εἶδε γὰρ τεσσεράκοντα ὡραίους δούλους βαστάζοντάς τε ἴσους μεγάλους κρατῆρας χρυσοῦς λαμπρῶν λίθων πληρεστάτους καὶ εὐθὺ πορευομένους πρὸς τὰ βασίλεια αὐτοῦ.



Ὁ οὖν βασιλεὺς σπεύσας εἰς τὴν αὐλὴν ἐδέξατο τοὺς τεσσεράκοντα δούλους αὐτοῖς τοῖς δώροις. Οὐδὲ δὴ ὄναρ ὁ βασιλεύς ἔγνω τοσούτους καλοὺς λίθους ἐπὶ τῆς γῆς ὄντας.



Ὁ δὴ βασιλεὺς ἠπόρει. Ὕστερον δ' ἔφη τὴν θυγατέρα τῷ Ἀλαντὶν ἐκδώσειν, ἐὰν αὐτὴ συμφωνήσῃ. Καὶ τὴν ἡμέραν ἔστησεν ὥστε τὸν Ἀλαντὶν ἐπισκοπῆσαι αὐτήν.



Ἐπειδὴ ὁ ἀρχιυπηρέτης ἐπανελθὼν ἀπήγγειλε τὴν τοὺς βασιλέως ὑπόσχεσιν, ὁ Ἀλαντὶν ἐχάρη.



Καὶ ἀνακαλεσάμενος τὸν δαίμονα ὡς μέγιστα ἐκέλευσεν. Καὶ γάρ τοι πολὺν χρόνον ἐλάλησεν. Ἐπειδὴ ἐπαύσατο,




μεγαλοπρεπῆ βασίλεια εἱστήκη ἀντὶ τῆς παλαιᾶς καλύβης. Αἱ μὲν γὰρ κίονες ἦσαν χρυσαῖ καὶ ἀργυραῖ, αἱ δὲ καμαρωτοὶ θυρίδες λαμπροῖς ἀδάμασι περικεκοσμημέναι.



Ἐπεὶ ἡ ἡμέρα ἦλθε τοῦ ἐπισκοπῆσαι τὴν βασίλισσαν, ὁ Ἀλαντὶν ἐνδεδυμένος ἦν στολὴν βασιλικήν. Ἔπειτα δέ, ἐπιβὰς ἔξω τῶν νέων βασιλείων ἐπὶ ἵππον λευκὸν μεγαλοπρεπῆ,



...ἤλασε διὰ τῆς πόλεως, ἐρυθροῦ ἑξαμίτου τάπητος μαγικῇ τέχνῃ ἀνελισσομένου ἔμπροσθεν αὐτοῦ.



Καὶ ἐν βραχεῖ ἀφίκετο ἐπὶ τὴν αὐλὴν τοῦ βασιλέως, ὅπου αὐτὸς ὁ μέλλων πενθερὸς αὐτοῦ ἀνέμενεν ἀσπάσασθαι αὐτόν.



Οὕτως μὲν περιεσταλμένος ὁ Ἀλαντὶν ὅτι ὡραῖος ἦν ἰδεῖν. Ὁ δὲ βασιλεὺς ἤδη ἐκαυχᾶτο ἔχων τοιοῦτον γαμβρὸν ἄλλως τε καὶ πλούσιον.



Ἡ δὲ βασίλισσα Ἀμίνη ἰδοῦσα αὐτὸν ἔγνω τὸν Ἀλαντὶν ὄντα τὸν βασιλίσκον ἐνύπνιον ἀεὶ ὁρώμενον.



Διὰ δ' ὀλίγων ἡμερῶν λαμπρῷ γάμῳ ἀνὴρ καὶ γυνὴ ἐγένοντο.



Καὶ μετῴκησαν τοῖς μεγαλοπρεπέσιν νέοις βασιλείοις ὑπὸ τοῦ δαίμονος οἰκοδομηθεῖσιν.

Διὰ δὲ πολλοὺς μῆνας ὁ Ἀλαντὶν καὶ ἡ βασίλισσα εὐτυχῶς ἔζησαν, ἔχοντες πάντα τὰ ἐπιθυμητά.



Τὸ δὲ τελευταῖον ἀπηγγέλθη τῷ πονηρῷ παλαιῷ τε μάγῳ περὶ τοῦ νέου βασιλίσκου ἔχοντος μέγαν πλοῦτον καὶ δόξαν. Ἔβλεψεν οὖν εἰς τὴν κρυσταλλίνην σφαῖραν τοῦ ἰδεῖν εἰ μὴν ἀληθῶς ἔχοι.



Γνοὺς δὲ τοῦτο οὕτως ἔχον, δεινὸν ἰδέσθαι, ὠργίσθη. Συνῆκε γὰρ τὸν Ἀλαντὶν μεμαθηκότα τὸ ἀπόρρητον τοῦ λυχναρίου.



Εἶτα ἐπὶ ναῦν ἐπιβὰς ἀνήχθη πρὸς τὴν τοῦ Ἀλαντὶν χώραν.



Ἔπειτα ἀφικόμενος εἰς τὴν πόλιν καὶ ἐνδυσάμενος ἱμάτια καπήλου λυχνάρια πωλοῦντος κατεσκόπει τὸν Ἀλαντίν.



Μετὰ τοῦτο ἦλθεν πρὸς τὰ τοῦ Ἀλαντὶν βασίλεια, βοῶν νέα λυχνάρια πρὸς παλαιὰ καταλλάξεσθαι. Οὕτω γὰρ ἤλπιζε γνώσεσθαι εἰ τὸ λυχνάριον ἐκεῖ τηροῖτο.



Παιδίσκη δέ τις ἐν τοῖς βασιλείοις, ἀκούσασα αὐτοῦ βοῶντος, πρὸς ἑαυτὴν ἐγέλασεν.



Ἐβουλεύσατο οὖν πείθεσθαι αὐτῷ. Ἤδη γὰρ ὅπου παλαιὸν χαλκοῦν λυχνάριόν τι κεῖται.



Ἡ οὖν παῖς σπεύσασα εἰς τὸν τοῦ Ἀλαντὶν κοιτῶνα ἀφείλετο ἀπὸ σανίδος ὑψηλῆς τινος τὸ λυχνάριον. Οὐδὲ δὴ ὄναρ αὐτὴ ἔγνω ἐν αὐτῇ τὸ ἀπόρρητον τοῦ πλούτου τοῦ Ἀλαντὶν κείμενον.



Ὁ δὲ παλαιὸς κάπηλος, ὁ δὴ ἐνδεδυμένος μάγος ὤν, οὐ μὴν ἠγνόει τὸ λυχνάριον. Καὶ γὰρ ὅσον οὐκ ἥρπασε τοῦτο ἐκ τῶν χειρῶν ἐκείνης.



Καὶ ἐκείνῃ τῇ ἡμέρᾳ ὁ μάγος οὐκέτι λυχνάρια κατηλλάξ



Ὁ δ' Ἀλαντίν, θήραν ποιούμενος διὰ μιᾶς ἡμέρας οἴκοθεν, οὐδαμῶς ᾔδει τὸ δυστύχημα αὐτῷ μέλλον.



Μέσων δὲ νυκτῶν ὁ μάγος ἐπαγαγὼν τὸν δαίμονα ἐκέλευσεν αὐτὸν ἐνεγκεῖν τὰ τοῦ Ἀλαντὶν βασίλεια πᾶσιν τοῖς ἔνδον οὖσιν εἰς τὴν Ἀφρικήν.





Τῇ δ' ὑστεραίᾳ πρωῒ ὁ βασιλεὺς, ἐλθὼν πρὸς τὴν θυρίδα βλέψαι τὴν χρυσῆν θόλον τῶν τοῦ Ἀλαντὶν βασιλείων εἰς τὰ ἐπὶ θάτερα τῆς πόλεως, οὐχ εὗρεν.

Τὸ μὲν πρῶτον οὐκ ἐδυνήθη πείσαι ἑαυτὸν τὸν νέον τῆς ἀγαπητῆς θυγατρὸς θαυμάσιον οἶκον οὐκέτι ἐκεῖ ἱστάμενον.





Τέλος δὲ πείσας ἑαυτὸν ὠργίσθη, λέγων ὅτι ἀμφιβόλως ὁ Ἀλαντὶν μαγικῇ τέχνῃ ἀφῄρηκε τήν τε θυγατέρα αὐτοῦ καὶ τὰ νέα βασίλεια.

Ὀψιαίτερον δὲ τῆς αὐτῆς ἡμέρας ὁ Ἀλαντὶν καὶ οἱ ἐν τῇ θήρᾳ ἑταῖροι αὐτοῦ ἀπήλαυνον εἰς τὴν πόλιν οὐδαμῶς ὑποπτεύοντες τὰ γενόμενα.





Ἐξαίφνης δὲ στρατιῶται προσελθόντες τὸν χαλινὸν ἔλαβον τοῦ ἵππου τοῦ Ἀλαντίν. Οὐδ' εἶπον αὐτῷ λόγον πλὴν ὅτι ὁ βασιλεὺς κεκέλευκεν αὐτὸν συλληφθῆναι.

Ὁ ἄρα δεθεὶς εἰσήχθη εἰς τὴν αὐλήν, ὅπου ὁ βασιλεὺς προσεδόκα αὐτόν.



Ὁ δὲ βασιλεὺς ἐμαίνετο. Ὁ γὰρ νομίζων τὸν Ἀλαντὶν αἴτιον εἶναι τοῦ αὐτὸν τῆς θυγατρός στερηθῆναι, ἐκέλευσε τὸν γαμβρὸν ἀνακομίσαι αὐτήν,



ἢ εἰς δεσμωτήριον ἐμβληθῆναι. Ὁ δ' Ἀλαντίν, ἀγνοῶν περὶ τίνος ὁ βασιλεὺς λόγον ποιοῖτο, οὐχ οἷος τ' ἦν ἀποκριθῆναι.



Καὶ ἐκείνου ἐν τῷ δεσμωτηρίῳ κατακλεισθέντος, ὁ φύλαξ διηγήσατο αὐτῷ ὅπως τὰ βασίλεια ἐν νυκτὶ ἠφανίσθη αὐτῇ τῇ βασιλίσσῃ.



Ἐκείνῃ δὲ τῇ νυκτὶ ὁ Ἀλαντὶν οὐκ ἐδυνήθη καθεύδειν. Οὕτω γὰρ ἐλυπεῖτο ὥστε, συστραφεισῶν τῶν χειρῶν, ψῆν τὸ δακτύλιον ὃ ἐκ πολλοῦ ἤδη ἀπὸ τοῦ ἀποκρύφου σπηλαίου εἰλήφει.



Ἐκείνου δὲ ταῦτα ποιοῦντος, ἄλλος δαίμων τις ἐξαίφνης ἑστήκει παρὰ αὐτῷ ὡς ἕτοιμος προσταχθῆναι. Ὁ δ' Ἀλαντὶν παραχρῆμα οὐ συνῆκεν.



Ἔπειτα δὴ μνησθεὶς τοῦ δακτυλίου ὃ εἰλήφει ἀπὸ τοῦ ἀποκρύφου καταγείου κήπου, εὐφρόνως προσέταξεν.





Οὐδ' ἔφθη εἰπὼν καὶ εὐθὺς εἱστήκει ὑπὸ τῇ θυρίδι τῶν βασιλείων, ἀναβλέπων τὴν βασίλισσαν καὶ γυναῖκα. Ἡ μὲν οὐκ εἶδεν αὐτὸν ὅτι ἐδάκρυεν, φωνήσαντος δ' ἐκείνου,

..κατεῖδε καί, προϊεῖσα φωνίον τι, ἡδομένη ἔδραμεν προσειπεῖν τὸν ἀγαπητὸν ἄνδρα.





Ὁ μὲν οὖν Ἀλαντὶν εὐθὺς ἀνέβη διὰ τὴν θυρίδα, ἡ δ' Ἀμίνη ἐνουθέτησεν αὐτὸν σιγῆσαι, μὴ δοῦλός τις ἀκούσας εἴποι τῷ μάγῳ.

Καὶ ἀκούσασα ἐκείνου τὸν λόγον, ἡ βασίλισσα πάντως ἀπεδοκίμασε τὴν βουλὴν αὐτοῦ. Ἡ γὰρ τὸν Ἀλαντὶν ἀνέμνησεν ὅτι ὁ πονηρὸς μάγος ἔτι καὶ νῦν τὸ λυχνάριον ἔχων οὕτω δύναιτο ὥστε ἀπολέσαι πάντα.





Καὶ ἔφη τὸν μὲν μάγον ἀπὸ τῶν βασιλείων ἄρτι ἀπεῖναι, δεῖν δ' αὐτοὺς βουλεύσασθαι ὅπως ἀπαλλάξαιεν τὸ λυχναρίου ἀπ' αὐτοῦ.

Ὁ δ' Ἀλαντὶν πολὺν χρόνον ἐνεθυμήθη. Ἤιδει γὰρ δέον αὐτούς, λαθόντας τὸν μάγον, λαβέσθαι τὸ λυχνάριον · εἰ δὴ μὴ ὁ μάγος ψήσας τὸ λυχνάριον ἐπιτάξαι τὸν δαίμονα.



Ἐξαίφνης βουλὴ ἐδόθη αὐτῷ. Αὐτὸν δηλαδὴ προελθόντα εἰς τὴν ἐγγυτάτην κώμην ὠνήσεσθαί τι ὑπνοῦν τὸν μάγον.



Ὁ ἄρα Ἀλαντὶν, τῇ ἐξαιφνιδίῃ βουλῇ χρώμενος, ταχέως κατῆλθεν ἐκ τῆς θυρίδος.



Καὶ ἧρψε διὰ τῶν θάμνων ἕως ἀσφαλῶς ἀπέσχεν ἀπὸ τῶν τοῦ μάγου δούλων, τῶν ὁρώντων ἂν αὐτόν.



Καὶ εὑρὼν κώμην ὅσον τε τριάκοντα στάδια ἀπέχουσαν, ἐλπίζων εὑρήσειν οὗ ἐδεῖτο, εὐθὺ ἦλθεν πρὸς φαρμακοπώλιον.



Ὁ δὲ φαρμακοπώλης ἡδονὴν τῷ Ἀλαντὶν παρέσχε λέγων ὅτι, εἰδὼς ᾧτινι αὐτὸν δέον χρήσασθαι, ὁμολογοίη ὀλίγον τι ποιῆσαι.



Ὅ τε πολὺν χρόνον διατρίψας τέλος ἐξήνεγκε λαγύνιόν τι, ἀνθ' οὗ παμμεγέθη χρήματα ᾔτησεν.



Ὁ μὲν οὖν Ἀλαντὶν ἔψησε τὸ δακτύλιον, ὁ δὲ δαίμων αὐτοῦ ἐφάνη.



Καὶ ὁ Ἀλαντὶν ᾔτησε σακκίον ἑκατὸν χρυσῶν πλῆρες.



Αὐτόθι δὲ πήρα μεγάλη μετεώρως ἐφάνη.



Ὁ μὲν Ἀλαντὶν παραδοὺς αὐτὴν τῷ φαρμακοπώλῃ εἵλετο τὸ λαγύνιον. Ὁ δὲ φαρμακοπώλης μᾶλλον ἐθαύμαζεν ἢ ὥστε γρῦ φθέγγεσθαι.



Νυκτὸς δ' ἤδη γενομένης τὰ βασίλεια κατεφάνη τῷ Ἀλαντίν. Ὁ δ' ἤλπιζε τὸν μάγον μήπω δειπνῆσαι.





Καὶ λαθὼν ἀφικόμενος πρὸς τὴν θυρίδα τῶν τῆς βασιλίσσης δωματίων, ὑφεὶς τὴν φωνὴν ἐκάλεσεν αὐτήν.

Ἡ δέ, μεγάλως ἀσπασαμένη αὐτόν, ἔφη τὸν μάγον αὐτίκα ἀναβήσεσθαι ὡς συνδειπνήσοντα ἑαυτῇ.



Ὁ δ' Ἀλαντὶν ἐκέλευσε τὴν γυναῖκα ἐγχέαι τὴν κόνιν, τοῦ μάγου οὐ βλέποντος, εἰς τὸ κυλίκιον αὐτοῦ. Ἔπειτα, τοῦ πονηροῦ μάγου καθεύδοντος, αὐτοὺς τὸ λυχνάριον ἁρπάσεσθαι.



Οἱ δὲ ἄρτι παυσάμενοι τοῦ λόγου ἤκουσαν τὸν μάγον ἐρχόμενον. Ἡ δ' Ἀμίνη ἔωσε τὸν Ἀλαντὶν εἰς οἴκημα, ὅπου μὴ ὁρῷτο.



Καὶ ἡ βασίλισσα προσεδόκων κατηφής, τοῦ μάγου εἰσερχομένου. Ἐξεκεχύκει γὰρ ἤδη τὴν κόνιν εἰς κυλίκιόν τι.



Καὶ τρέμουσα τὴν χεῖρα παρέδωκε τῷ μάγῳ τὸ κυλίκιον ἔχον τὴν τοῦ φαρμακοπώλου κόνιν. Ἤλπιζε δὴ ἐκεῖνον μὴ γευσάμενον ὑποπτεύσειν τι.



Ὁ δὲ παλαιὸς ἐπιβουλευτὴς ἑαυτῷ οὕτως ἤρεσκεν ὥστε οὐδ' ὄναρ γνῶναι τὴν βασίλισσαν δόλον ἐφ' ἑαυτὸν ὑφαίνουσαν....



...ἕως ἡ κόνις ἐξαίφνης ἤρξατο ποιεῖν. Ὁ δὲ μάγος οὐκ ἐθέλων κατενεχθῆναι εἰς ὕπνον ἐξεῖλε θῆμισυ τοῦ λυχναρίου...



Ἔπειτα, κλείσας μὲν τοὺς ὀφθαλμούς, διάρας δὲ τὸ στόμα, βραδέως ἔρεγχεν.



Ὁ δ' Ἀλαντὶν κλιθεὶς τῷ μάγῳ, οὐκ ἐδύνατο ἑλέσθαι τὸ λυχνάριον, εἰ μὴ ἀποσπάσαι. Εἰ δὴ ἀπέσπασεν, ἡ τοῦ μάγου χεὶρ ἔψησεν ἂν τὸ λυχνάριον. Ἀλλὰ τοῦτο ἄχρηστον ἂν ἐγένετο ὅτι...



.. ὁ δαίμων μηδὲν ἂν ἐποίησεν ἐπὶ τὸν ἔχοντα τὸ λυχνάριον.



Ὡς ἐλαφρότατα καὶ κατὰ δακτύλους Ἀμίνη ἡ βασίλισσα ἔλυσε τὴν τοῦ μάγου χεῖρα.



Τέλος ἐκείνη μὲν ἀντελάβετο, ὁ δ' ἐχθρὸς κατεκοιμᾶτο.



Νῦν δ' ἀσφαλεῖς ὄντες οὐκ ἴσασιν ὅ, τι πρακτέον εἴη. Πότερον ὁ πονηρὸς μάγος ἀφετέος εἴη ἢ... ;



Ἡ δὲ βασίλισσα ὀλίγον ἐνθυμηθεῖσα ἔφη...



Ἀπέχων δὴ ἐκεῖθεν μακράν, ὁ τοῦ Ἀλαντὶν πενθερός, ὁ βασιλεύς, ἑστὼς πρὸ τῆς θυρίδος ἐθεᾶτο τὸ ἐρῆμον πέρα τῆς πόλεως χωρίον, ὅπου τὰ τοῦ Ἀλαντὶν βασίλεια πάλαι ἔκειτο.


Οἱ δ' ἄνθρωποι παυσάμενοι ἔβλεπον τὸν ψιλὸν τόπον, ὅπου οἱ μαρμάρινοι τοῖχοι καὶ αἱ χρυσαῖ κίονες τρίτην ἡμέραν ἐκείνην ἐπεφήνεσαν.



Ἐξαίφνης μὲν ἤστραψεν ἀστραπή, τὰ δὲ τοῦ Ἀλαντὶν βασίλεια πάλιν ἐφάνη, ὡσεὶ μήποτε ἐκινήθη.



Ὁ δὲ βασιλεὺς βλέπων καὶ θαυμάζων ἐκέλευσε τὸν ἀρχιαυλικὸν σαφῶς γνῶναι...



Εἶτα μετέβαλε τὴν γνώμην. Αὐτὸς γὰρ ἰέναι ὡς τάχιστα ἐφ' ἵππου δύναιτο πέρα τῆς πόλεως ὀχεῖσθαι.



Καὶ ταχέως ἤλαυνε διὰ τῶν ὁδῶν ὅσαι τοῖς τῶν συντρεχόντων λύχνοις τε καὶ λαμπάσιν ἐφωτίζοντο.



Καὶ ἀφικόμενος ἐπὶ τὰ τοῦ Ἀλαντὶν βασίλεια, ἔδραμεν ἀναβαίνων ἵνα ἀνεύροι πότερον αὐτὰ ἀληθῆ εἴη.



Ὁ οὖν βασιλεὺς ἔλαβεν ἐν ἀγκάλαις Ἀμίνην, φοβούμενος μὴ ἐκείνη αὖθις ἀφανισθείη.



Καὶ πρὶν τὸν βασιλέα πρὸς τὸν Ἀλαντὶν τραπῆναι, ἡ βασίλισσα, δείξασα τὸν καθεύδοντα μάγον, διηγήσατο τὰ ὑπ' αὐτοῦ πραχθεῖσα.




Ὁ δὲ βασιλεὺς τἀληθῆ ἀκούσας ὠργίσθη. Καὶ ξίφος σπασάμενος ἔμελλεν ἀποκτείνειν τὸν μάγον...



...εἰ μὴ ὁ Ἀλαντὶν ἐπελάβετο αὐτοῦ τοῦ βραχίονος, λέγων τῷ βασιλεῖ ὅτι ἀμείνω βουλὴν ἔχοι τοῦ τὸν πονηρὸν ἐχθρὸν ἀποπέμψαι.



Ὁ δ' Ἀλαντὶν σπασάμενος τὸ λυχνάριον ὑπὸ τοῦ χιτῶνος, εἶχε διαδεικνύς.


... καὶ ἔψησεν αὐτὸ τῷ μαγικῷ ἐν τῇ ἑτέρᾳ χειρὶ δακτυλίῳ.



Αὐτόθι ἄμφω τὼ δαίμονε φανέντε ᾐτησάτην ὅ, τι ἐκεῖνος ἐπιτάξαι.




Ὁ ἄρ' Ἀλαντὶν ἐκέλευσεν αὐτοὺς τὸν μάγον εἰς ἀΐδιον κατακλεῖσαι ἐν τῷ καταγείῳ κήπῳ, ὅπου αὐτὸς τὸ λυχνάριόν τε καὶ τὸν δακτύλιον εὑρήκει.



Ἀλλὰ καὶ ὁ τοῦ λυχναρίου δαίμων καὶ ὁ τοῦ δακτυλίου, ἐκπλήξαντες ἐκεῖνον, οὐκ ἠθέλησαν. Καὶ ἔφησαν τὸν Ἀλαντὶν αἰτήσαντα ἑαυτοὺς ἐνεγκεῖν τοιοῦτον ἄνθρωπον εἰς τόπον πανάγιον...



...ἀποβαλεῖν τὴν ἐξουσίαν τοῦ αὐτοῖς ἔτι ἐπιτάσσειν.



Ἐπειδὴ ὁ Ἀλαντὶν οὐ κακόνουν σχοίη, ἔφησαν, οἴσειν τὸν μάγον ὅποι αὐτὸς κελεύσαι.



Ὁ ἄρα Ἀλαντὶν ἐκέλευσεν αὐτούς, ἀπαγαγόντας τὸν μάγον πρὸς τὸ ὕψιστόν τε καὶ ἐρημότατον πάσης τῆς Ἀφρικῆς ἄκρον ὄρος, κατακλεῖσαι αὐτὸν ἐν οἰκίσκῳ ἐξ αὐτῆς τῆς πέτρας ἐκτετμημένῳ, ἔχοντα μετ' αὐτοῦ τὰ ἐπιτήδεια παρ' ὅλον τὸν βίον.



Ὁ μὲν οὖν Ἀλαντὶν ταῦτα εἶπεν, τὼ δὲ δαίμονε ἠφανισθήτην. Καὶ γάρ τοι τὸ ὕστατον ἐφανήτην.



Ὁ δὲ βασιλεύς, ὡς τὸν Ἀλαντὶν τιμήσων τε καὶ τὰ τῆς θυγατρὸς καταγώγια ἑορτάσων, ἀπήγγειλεν ἑβδομάδα ἑορτώδη αὐταῖς ᾠδαῖς.



Οἱ οὖν ἄνθρωποι ὠρχήσαντο νύκτας τε καὶ ἡμέρας ἐν ταῖς ὁδοῖς...





Καθ' ἡμέραν δὲ δείλῃ οἱ νέοι ἀνὴρ καὶ γυνὴ οἱ βασιλεύοντες διεδίδοσαν δράκας χρυσῶν τοῖς κροτοῦσιν ὄχλοις.



Τὰ δὲ τοῖς πένησι διδόμενα ὀλίγα ἦν ὡς πρὸς τὸν πλοῦτον ὅσον ὁ δαίμων ἐν τῷ θησαυρῷ ἐτεθήκη.



Καὶ ἑκάτερος ᾔδει τὸν θησαυρὸν μικρὸν ὄντα ὡς πρὸς τὴν κοινὴν αὐτοῖς χαράν. Μακάριοι ἄρα διετέλεσαν ζῶντες.

ΟΝΟΣ ΚΑΙ ΒΟΥΣ





Ὁ δὲ γεωργός, ὁ μὴν ἔχων πῖλον μαγικὸν τοῦ συνιέναι τοὺς πάντων τῶν θηρίων λόγους, ἤκουεν.



Τῇ δ' ὑστεραίᾳ ὁ ὄνος ἠναγκάσθη ἀντὶ τοῦ βοὸς ἀροῦν ὥστε ἀποκαμεῖν.



Ἐκείνη μὲν τῇ νυκτὶ ὁ ὄνος ἐκ τοῦ σταθμοῦ ἐξεβλήθη τοῦ ἑαυτῷ προνομὰς ποιεῖσθαι. Ὁ δὲ μᾶλλον ἐκεκμήκει ἢ ὥστε ἐσθίειν.





Τῇ δ' ὑστεραίᾳ ὁ βοῦς ἡδόμενος παρεσκευασμένος ἀντὶ τοῦ ἐν κρεοπωλίῳ εἶναι, μείζονι σπουδῇ ἐργάσατο ἢ πώποτε.

Ἡ χώρα τοῦ Ἀλαντίν

